Υπέρ Μαντιθέου §§1-3

[1] **Εἰ** μὴ συνῄδη, ὦ βουλή, τοῖς κατηγόροις βουλομένοις *Ο Μαντίθεος*

κακῶς ἐμὲ ποιεῖν ἐκ παντὸς τρόπου, *ελπίζει στην έγκριση της βουλευτικής του εκλογής*

ἂν εἶχον αὐτοῖς χάριν πολλὴν ταύτης τῆς κατηγορίας·

ἡγοῦμαι **γὰρ** τούτους εἶναι αἰτίους μεγίστων ἀγαθῶν

τοῖς ἀδίκως διαβεβλημένοις,

οἵτινες ἂν ἀναγκάζωσιν αὐτοὺς καταστῆναι εἰς ἔλεγχον

τῶν αὐτοῖς βεβιωμένων.

[2] ἐγὼ **γὰρ** οὕτω σφόδρα πιστεύω ἐμαυτῷ,

ὥστ᾽ ἐλπίζω μεταμελήσειν αὐτῷ

καὶ ἡγήσεσθαι με πολὺ βελτίω

εἰς τὸν λοιπὸν χρόνον

καὶ εἴ τις τυγχάνει διακείμενος ἀηδῶς [ἢ κακῶς] πρός με,

ἐπειδὰν ἀκούσῃ ἐμοῦ λέγοντος περὶ τῶν πεπραγμένων.

[3] ἀξιῶ δέ, ὦ βουλή, μηδέν πώ μοι πλέον εἶναι,

ἐὰν μὲν ἐπιδείξω τοῦτο μόνον ὑμῖν,

ὡς εὔνους εἰμὶ τοῖς πράγμασι [τοῖς] καθεστηκόσι

καὶ ὡς ἠνάγκασμαι μετέχειν τῶν αὐτῶν κινδύνων ὑμῖν·

ἐὰν δὲ φαίνωμαι βεβιωκὼς μετρίως <καὶ> περὶ τὰ ἄλλα

καὶ πολὺ παρὰ τὴν δόξαν

καὶ [παρὰ] τοὺς λόγους τοὺς τῶν ἐχθρῶν,

δέομαι ὑμῶν ἐμὲ μὲν δοκιμάζειν,

τούτους δὲ ἡγεῖσθαι χείρους εἶναι.

πρῶτον δὲ ἀποδείξω ὡς οὐχ ἵππευον *Το κατηγορητήριο*

οὐδ᾽ ἐπεδήμουν ἐπὶ τῶν τριάκοντα,

οὐδὲ μετέσχον τῆς τότε πολιτείας.

[1] Ποιο είναι το είδος του υποθετικού λόγου; Τι πετυχαίνει ο ομιλητής με την επιλογή αυτή;

[2] Πώς αισθάνεται ο Μαντίθεος καθώς αντιμετωπίζει τη συγκεκριμένη κατηγορία;

- Ποια στοιχεία ηθοποιίας προκύπτουν;

- Πώς «εισπράττουν» οι βουλευτές αυτή τη στάση του κατηγορούμενου; Ποια τα στοιχεία της παθοποιίας;

[3] Ποια τα ρήματα στις κύριες προτάσεις; Σε τι σχέση βρίσκονται; Ποιο αποτέλεσμα έχει η συγκεκριμένη επιλογή;

- Ποια στοιχεία του προοιμίου εξυπηρετούν την «ευμάθεια»;

<u>Ερώτηση</u>

Να αξιολογήσεις την αποτελεσματικότητα του προοιμίου: σε ποιον βαθμό ανταποκρίνεται στους τρεις στόχους του προοιμίου;